UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XXVII. De Apollinare Hierapolitanae Ecclesiae Episcopo.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A βιβλίων ἐβουλήθης ἀκρίβειαν, πόσα τὸν ἀριθμὸν καὶ ὁποῖα τὴν τάξιν εἶεν, ἐσπούδασα τὸ τοιοῦτο πρᾶξαι, ἐπιστάμενός σου τὸ σπουδαῖον περὶ τὴν πίστιν, καὶ φιλομαθὲς περὶ τὸν λόγον. ὅτι τε μάλιστα πάντων πόθῳ τῷ πρὸς Θεὸν ταῦτα προκρίνεις, περὶ τῆς αἰωνίου σωτηρίας ἀγωνιζόμενος. ἀνελθὼν οὖν εἰς τὴν ἀνατολὴν, καὶ ἕως τοῦ τόπου γενόμενος ἔνθα ἐκηρύχθη καὶ ἐπράχθη, καὶ ἀκριβῶς μαθὼν τὰ τῆς παλαιᾶς διαθήκης βιβλία, ὑποτάξας ἔπεμψά σοι· ὧν ἐστι τὰ ὀνόματα· Μωϋσέως πέντε· Γένεσις, B Ἔξοδος, Λευιτικὸν, Ἀριθμοὶ, Δευτερονόμιον. Ἰησοῦς Ναυῆ, Κριταὶ, Ῥοὺθ· Βασιλειῶν τέσσαρα, Παραλειπομένων δύο. Ψαλμῶν Δαβίδ, Σολομῶνος Παροιμίαι, ἣ καὶ Σοφία, Ἐκκλησιαστὴς, ᾆσμα ᾀσμάτων, Ἰώβ. Προφητῶν, Ἡσαΐου, Ἱερεμίου· τῶν δώδεκα ἐν μονοβίβλῳ. Δανιὴλ, Ἰεζεκιὴλ, Ἔσδρας. ἐξ ὧν καὶ τὰς ἐκλογὰς ἐποιησάμην, εἰς ἓξ βιβλία διελών. καὶ τὰ μὲν τοῦ Μελίτωνος τοσαῦτα.

Testamenti accuratè cognoſcere concupiveris, quot numero & quo ſint ordine conſcripti, id perficere omni ſtudio laboravi. Scio quippe quanto fidei ardore, & quanta diſcendi cupiditate flagres: teque præcipuè ob amorem Dei iſta omnibus rebus anteferre, pro comperto habeo, & æternæ ſalutis obtinendæ cauſa decertare. Ego igitur cùm in Orientem profectus eſſem, & ad locum ipſum perveniſſem, in quo hæc & prædicata & geſta olim fuerunt, veteris Teſtamenti libros diligenter didici, eorumque indicem infrà ſubjectum ad te miſi. Eſt autem ejuſmodi: Moſis libri quinque, Geneſis, Exodus, Leviticus, Numeri, Deuteronomium. Jeſus Nave, Judices, Ruth. Regnorum libri quatuor. Paralipomenon duo. Pſalmi Davidis. Salomonis Proverbia quæ & Sapientia; Eccleſiaſtes; Canticum Canticorum: Job. Prophetarum, Eſaiæ: Hieremiæ: & duodecim Prophetarum liber unus. Daniel: Ezechiel: Eſdras; ex his igitur excerpta collegi, quæ in ſex libros à me diſtributa ſunt. Sed de Melitonis Scriptis hactenus.

C

## ΚΕΦΑΛΑΙΟΝ ΚΖ´.

Περὶ Ἀπολιναρίου τοῦ τῆς Ἱεραπολιτῶν ἐκκλησίας ἐπισκόπου.

Τοῦ δ' Ἀπολιναρίου πολλῶν παρὰ πολλοῖς σωζομένων, τὰ εἰς ἡμᾶς ἐλθόντα ἐστὶ τάδε· λόγος ὁ πρὸς τὸν προειρημένον βασιλέα, καὶ πρὸς Ἕλληνας συγγράμματα πέντε. καὶ περὶ ἀληθείας πρῶτον καὶ δεύτερον. καὶ πρὸς Ἰουδαίους πρῶτον καὶ δεύτερον. καὶ ἃ μετὰ ταῦτα συνέγραψε κατὰ τῆς Φρυγῶν αἱρέσεως μετ' οὐ πολὺν καινοτομηθείσης χρόνον, τότε γε μὴν ὥσπερ ἐκφύειν ἀρχομένης, ἔτι τοῦ Μοντανοῦ ἅμα ταῖς αὐτοῦ ψευδοπροφήτισιν ἀρχὰς τῆς D παρεκτροπῆς ποιουμένου. τοσαῦτα καὶ περὶ τοῦδε λεκτέον.

## Caput XXVII.

*De Apollinare Hierapolitanæ Eccleſiæ Epiſcopo.*

Apollinaris verò licet penes multos multa exſtent opera, hæc tamen ſola ad nos pervenerunt. Oratio ad ſupradictum Imperatorem. Adverſus Gentiles libri quinque. De veritate duo. Duo item adverſus Judæos. Et alii quos poſtmodum ſcripſit contrà Cataphrygum hæreſim, quæ quidem non longè poſteà maximos tumultus excitavit: tunc temporis primùm enaſci cœperat, Montano cum falſis vatibus ſuis adhuc erroris ſui fundamenta jaciente. Atque hæc de Apollinare dicenda habuimus.

Huc refer Niceph. c. 11. l. 4.

## ΚΕΦΑΛΑΙΟΝ ΚΗ´.

Περὶ Μουσανοῦ καὶ ὧν οὗτος συνεγράψατο.

Καὶ Μουσανοῦ δὲ, ὃν ἐν τοῖς φθάσασι κατελέξαμεν, φέρεταί τις ἐπιστρεπτικώτατος λόγος πρός τινας αὐτῷ γραφεὶς ἀδελφοὺς, ἀποκλίναντας ἐπὶ τὴν τῶν λεγομένων Ἐγκρατιτῶν αἵρεσιν, ἄρτι τότε φύειν ἀρχομένην. ξένην τε καὶ φθοριμαίαν ψευδοδοξίαν εἰσάγουσαν ἐν τῷ βίῳ· ἧς παρεκτροπῆς ἀρχηγὸν καταστῆναι Τατιανὸν λόγος ἔχει.

## Caput XXVIII.

*De Muſano & ejus Scriptis.*

Sed & Muſani, cujus in ſuperioribus mentionem fecimus, elegantiſſimus quidam exſtat liber ad quoſdam fratres, qui ad Encratitarum hæreſim deſciverant: quæ tunc primùm exorta novum quemdam ac pernicioſum errorem orbi invexit. Hujus ſectæ auctorem fuiſſe perhibent Tatianum.

Huc etiam refer Niceph. cap. prædictum 11. lib. 4.